# ΑΥΓΟΥΣΤΟΣ 15. ΕΓΚΩΜΙΑ ΚΟΙΜΗΣΕΩΣ ΤΗΣ ΠΑΝΑΓΙΑΣ

***(Ἔκδοσις Βενετίας, 1836)***

**ΣΤΑΣΙΣ Α΄.**

*Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ οἱ πορευόμενοι ἐν νόμῳ υρίου,*

Ἡ Ζωὴ ἐν τάφῳ, κατετέθης Χριστέ, καὶ ἡ Μήτηρ τῆς Ζωῆς κατατίθεται· ξένον θέαμα Ἀγγέλοις καὶ βροτοῖς.

*μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ· ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν,*

Μεγαλύνομέν Σε, Θεοτόκε ἁγνή, καὶ τιμῶμεν τὴν ἁγίαν Σου κοίμησιν, καὶ τὸν τάφον προσκυνοῦμεν τὸν σεπτόν.

*οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν,*

Μαριὰμ πῶς θνήσκεις, ἡ ζωὴ τῶν πιστῶν; πῶς δὲ τάφος τὸ Σὸν σῶμα ἐχώρησε, τὸ χωρῆσαν τὸν Ἀχώρητον παντί;

*σὺ ἐνετείλω τὰς ἐντολάς σου τοῦ φυλάξασθαι σφόδρα,*

Οὐρανῶν τεκοῦσα, Βασιλέα Θεόν, εἰς οὐράνια Βασίλεια σήμερον, μετατίθεσαι σεμνὴ βασιλικῶς.

*ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου τοῦ φυλάξασθαι τὰ δικαιώματά σου,*

Ἐκ τῆς γῆς μετέστης, καὶ τῆς γῆς οὐδαμῶς, Παναγία Θεοτόκε ἀφέστηκας, ῥυομένη πάντα κόσμον τῶν δεινῶν.

*τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου,*

Πᾶσα γῆ δοξάζει, τὴν ταφὴν τοῦ Χριστοῦ, καὶ ὑμνεῖ καὶ τὰ ἐντάφια Δέσποινα, τῆς ἀχράντου Σου Μητρὸς πανευλαβῶς.

*ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου,*

Ἄγγελοι ὁρῶντες, ἡπλωμένην νεκράν, τὴν τῷ κόσμῳ τὴν ζωὴν ἀνατείλασαν, ἐκπληττόμενοι ἐθαύμαζον ἁγνή.

*τὰ δικαιώματά σου φυλάξω· μή με ἐγκαταλίπης ἕως σφόδρα.*

Ἀπεστάλη πάλιν, ἐκ Θεοῦ Γαβριήλ, καὶ τὴν Σὴν εὐαγγελίζεται ἔξοδον, ἐπουράνιε ἀκήρατε ἁγνή.

*Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου,*

Εἰς νυμφῶνα θεῖον, Σὲ τὴν νύμφην Θεοῦ, ὁ Νυμφίος προσκαλεῖται Θεόνυμφε, συνευφραίνεσθαι ἀεὶ θεοπρεπῶς.

*ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε· μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου,*

Ἕως θρόνου θείου, ὅπου φῶς τὸ φρικτόν, τῆς Τριάδος καὶ ἀπρόσιτον ἔφθασας, καὶ κατέπαυσας Παρθένε ἀληθῶς.

*ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι,*

Τῷ Θεῷ προσῆλθες, τοῦ Θεοῦ μηδαμῶς, ἡ ἐκ μήτρας χωρισθεῖσα μηδέποτε, Θεοτόκε μεταστᾶσα ἀπὸ γῆς.

*εὐλογητὸς εἶ,   ύριε· δίδαξόν με τὰ δικαιώματά σου,*

Τὸ σεπτόν Σου σῶμα, Κόρη διαφθοράν, καὶ ἐν μνήματι οὐκ ἶδεν· ἀλλ᾽ ἔνσωμος, μεταβέβηκας ἐκ γῆς πρὸς οὐρανόν.

*ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου,*

Τὸ πανάγιον σου, πρόσωπον καὶ νεκρόν, ὡς παράδεισος ἐφαίνετο πάναγνε, χάριν πνέον τοῖς ὁρῶσι καὶ ζωήν.

*ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ,*

Τῶν υἱῶν σου Μῆτερ, τὴν ἀγάπην ἡμῶν, καὶ τὸν ὕμνον τὸν ἐξόδιον πρόσδεξαι, προσφερόμενον ἐκ βάθους τῆς ψυχῆς.

*ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω καὶ κατανοήσω τὰς ὁδούς σου,*

Ἄνοιξόν Σου Μῆτερ, τοὺς σεπτοὺς ὀφθαλμούς, καὶ τὰ τέκνα συνηγμένα ἐπίβλεψον, Σοῦ τὴν κοίμησιν δοξάζοντα σεπτῶς.

*ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου.*

Ἄνοιξον τὰ χεῖλα, καὶ δὸς λόγον ἡμῖν, Παναγία Θεοτόκε τοῖς δούλοις Σου, τελευταῖον μεταστᾶσα ἀφ' ἡμῶν.

*Ἀνταπόδος τῷ δούλῳ σου· ζήσομαι καὶ φυλάξω τοὺς λόγους σου,*

Μὴ ἐάσῃς Μῆτερ, ὀρφανοὺς νῦν ἡμᾶς, ἀπὸ γῆς εἰς οὐρανοὺς νῦν ἀπαίρουσα, τῷ Υἱῷ συνεσομένη καὶ Θεῷ.

*ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου,*

Κύκλῳ τῆς σῆς κλίνης, παρεστῶτες θερμῶς, ἐκβοῶμέν Σοι· Παρθένε ἐλέησον, Παναγία σῶσον πάντας τοὺς πιστούς.

*πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ· μὴ ἀποκρύψῃς ἀπ᾽ ἐμοῦ τὰς ἐντολάς σου,*

Δεῦρο δη μοι Ἄννα, στῆθι νῦν μεθ' ἡμῶν, πανηγύρεως τῆς Σῆς προεξάρχουσα, Θεομήτορος ἁγίας θυγατρός.

*ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ,*

Δεῦρο δῶμεν δόξαν, αἴνεσίν τε Θεῷ, τῷ καλέσαντι αὐτὴν εἰς τὰ Ἅγια, ὡς ἁγίαν τῶν ἁγίων τοῦ Θεοῦ.

*ἐπετίμησας ὑπερηφάνοις· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου,*

Σήμερον ἐδέχθη, οὐρανὸς εὐκλεῶς, τὴν Βασίλισσαν παντὸς καὶ εὐφραίνεται, βασιλεύουσαν Θεῷ συνθεωρῶν.

*περίελε ἀπ᾽ ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα,*

Ὁ Θεὸς τῆς δόξης, ὁ Υἱός Σου ἁγνή, μετὰ δόξης ὡς Μητέρα προσήκατο, καὶ ἐκάθησεν Αὐτοῦ ἐξ δεξιῶν.

*καὶ γὰρ ἐκάθισαν ἄρχοντες καὶ κατ᾽ ἐμοῦ κατελάλουν, ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου,*

Περιβεβλημένη, νῦν παρέστης Θεῷ, καὶ πεποικιλμένη ἐν χάρισιν, ὡς Βασίλισσα καὶ Μήτηρ τοῦ Θεοῦ.

*καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μού ἐστι, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου.*

Ἄγγελοι Παρθένε, διηκόνουν ἐν γῇ, Ἄγγελοι καὶ νῦν ἐν τοῖς οὐρανοῖς, σοὶ παρίστανται ἁγνὴ δουλοπρεπῶς.

*Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου· ζῆσόν με κατὰ τὸν λόγον σου,*

Στρατιαὶ Ἀγγέλων, καταπτᾶσαι σεμνή, μετὰ δέους περιΐσταντο Δέσποινα, τὴν μετάστασιν θεώμενοι τὴν Σήν.

*τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου,*

Νοεραὶ Δυνάμεις, νοερῶς σὺν ἡμῖν, καὶ νῦν ἤδη παρεστῶσαι συμψάλλουσι, τὴν μετάστασιν δοξάζουσαι τὴν σήν.

*ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου,*

Ἐκ περάτων ἦλθον, οἱ Χριστοῦ Μαθηταί, λειτουργῆσαι τῇ κηδεύσει Σου Δέσποινα, καὶ ὑμνῆσαί Σου τὴν κοίμησιν ἁγνή.

*ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας· βεβαίωσόν με ἐν τοῖς λόγοις σου,*

Ὁ Θεὸς Παρθένε, τοὺς Ἀγγέλους Αὐτοῦ, καὶ τοὺς θείους Ἀποστόλους προέπεμψεν, εἰς κηδείαν τῆς Μητρὸς υἱοπρεπῶς.

*ὁδὸν ἀδικίας ἀπόστησον ἀπ᾽ ἐμοῦ καὶ τῷ νόμῳ σου ἐλέησόν με,*

Τῶν Ἁγίων πᾶσαι, συμπαρῆσαν ψυχαί, Προπατόρων Προφητῶν καὶ Δικαίων τε, τὴν ἐξόδιον προσφέρουσαι ᾠδήν.

*ὁδὸν ἀληθείας ᾑρετισάμην καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην,*

Σὲ δοξάζει πᾶσα, Θεοτόκε ἁγνή, ζῶσάν τε καὶ νῦν μετὰ θάνατον, οὐρανίων ἐπιγείων ἡ πληθύς.

*ἐκολλήθην τοῖς μαρτυρίοις σου, ύριε· μή με καταισχύνῃς,*

Ζῇς καὶ μετὰ πότμον, Ζωοδόχε Πηγή· ἐκ ζωῆς γὰρ εἰς ζωὴν μεταβέβηκας, ὡς τεκοῦσα τὴν ἀείζωον ζωήν.

*ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.*

Εἰ καὶ Κόρη θνήσκεις, ἤδη νῦν καθ' ἡμᾶς, ἀλλὰ πάντων βασιλὶς ἀναδέδειξαι, ὡς τὸν Κτίστην συλλαβοῦσα τοῦ παντός.

*Νομοθέτησόν με, ύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός,*

Εἰ καὶ συγκαλύπτῃ, τάφῳ Κόρη σμικρῷ, ἀλλ' αὐτὸς ὁ οὐρανός Σοι ἠνέῳκτο, καὶ ἐν θρόνῳ ὑπεδέξατο Θεός.

*συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου,*

Ὁ Πατρὸς ἐκ κόλπων, ἐκφοιτήσας Θεός, καὶ ἐν κόλποις εἰσελθὼν τοῖς Σοῖς ἄχραντε, ὑπεδέξατο ἐν κόλποις Σὲ ἁγνή.

*ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα,*

Ὁ Θεὸς ἐτάφη, καὶ ἡ Μήτηρ Θεοῦ, ἐν τῷ ἅδῃ ὁ Θεὸς καταβέβηκε, καὶ ἡ Μήτηρ ὑπεισῆλθε τοῦ Θεοῦ.

*κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου καὶ μὴ εἰς πλεονεξίαν,*

Τὸν Υἱὸν Παρθένε, οὐδὲ ἐν τῷ Σταυρῷ, ἐγκατέλιπες· διὸ οὐ κατέλιπε, Σὲ νῦν ἤδη συμπαρῶν σωματικῶς.

*ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα, ἐν τῇ ὁδῷ σου ζῆσόν με,*

Τὴν ταφὴν δοξάζεις, τοῦ Υἱοῦ μητρικῶς, καὶ Αὐτὸς ἀντιδοξάζει τὴν κοίμησιν, τὴν ἁγίαν Σου Παρθένε θεϊκῶς.

*στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου,*

Ἤνεσάν Σε πάντες, Ἄγγελοι τοῦ Θεοῦ, ὅτε Κόρη οὐρανοὺς ὑπερβέβηκας, καὶ πεσόντες προσεκύνησαν σεπτῶς.

*περίελε τὸν ὀνειδισμόν μου, ὃν ὑπώπτευσα· ὅτι τὰ κρίματά σου χρηστά,*

Θρόνῳ προσελθοῦσα, τοῦ Ὑψίστου Θεοῦ, προσπεσοῦσα δουλικῶς προσεκύνησας, καὶ παρέστηκας ὁρῶσα τὸν Θεόν.

*ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου· ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.*

Ὢ χαρᾶς ἀφράστου, ὢ ἀπείρου τιμῆς· Μαριὰμ σὺν Ἰησοῦ τῷ Υἱῷ Αὐτῆς, βασιλεύει οὐρανοῦ τε καὶ τῆς γῆς.

*αὶ ἔλθοι ἐπ᾽ ἐμὲ τὸ ἔλεός σου, ύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου,*

Θεοτόκε Κόρη, μεταστᾶσα τῆς γῆς, τοὺς ἐν γῇ μὴ διαλίπῃς φυλάττουσα, προσκυνοῦντας τὴν μετάστασιν τὴν σήν.

*καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου,*

Οὐρανόθεν Μῆτερ, ὅπου νῦν κατοικεῖς, ἐπιβλέψασα τὴν γῆν εὐσπλαγχνίσθητι, καὶ ἐλέησον τὸν κόσμον ἀγαθή.

*καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα,*

Οἱ Ἀπόστολοί Σου, Θεοτόκε ἁγνή, τὸ πανάγιον ὡς εἴδοσαν σκῆνός σου, προσπεσόντες κατησπάζοντο σεπτῶς.

*καὶ φυλάξω τὸν νόμον σου διαπαντός, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος,*

Ἐξοδίους ὕμνους, συνῳδὰ καὶ ᾠδάς, συστησάμενοι χορείαν ἐξῇδόν Σοι, ἐξιστάμενοι τῇ δόξῃ Σου ἁγνή.

*καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα,*

Ἐκ θεοτερποῦς Σου, ἀγλαΐας ἐκεῖ, ἐλλαμπόμενοι Παρθένε ἠγάλλοντο, καὶ ἐδόκουν τὸν Υἱόν Σου καθορᾶν.

*καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων καὶ οὐκ ᾐσχυνόμην,*

Τὸ ζωαρχικόν Σου, σκῆνος ποίαις χερσί, νῦν προσψαύσωμεν πανάχραντε ἔλεγον, τὸ τοῦ Λόγου ἐνδιαίτημα σεπτόν;

*καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, ἃς ἠγάπησα σφόδρα,*

Ποίους λόγους Κόρη, σοὶ προσείπωμεν νῦν; ποίους ὕμνους ὑπερύμνητε Δέσποινα, τῇ κοιμήσει Σου προσοίσωμεν ἡμεῖς;

*καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου.*

Μαριὰμ Παρθένε, τὸ γλυκὺ τοῦ Θεοῦ, ὄνομα καὶ πρᾶγμα πῶς τέθνηκας, ἡ θεώσασα τὴν φύσιν τῶν βροτῶν.

*Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με,*

Πῶς ὠράθης ἄπνους, ἡ τὸν πᾶσαν πνοήν, παρεχόμενον ἀῤῥήτως γεννήσασα; ὢ τοῦ πράγματος Παρθένε τοῦ καινοῦ.

*αὔτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με,*

Πῶς ἡ ὑπερβᾶσα, φύσεως τοὺς θεσμούς, ὑποκύπτεις τοῖς τῆς φύσεως Δέσποινα, καὶ θανάτου πεῖραν ἔσχες καθ’ ἡμᾶς.

*ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα,*

Ἡ τὴν νεμομένην, τοῦ θανάτου ὁρμήν, στήσασα Παρθένε τῷ τόκῳ Σου, πῶς θανάτου νῦν ὑπέστης τὴν φοράν;

*ἐμνήσθην τῶν κριμάτων σου ἀπ᾽ αἰῶνος, ύριε, καὶ παρεκλήθην,*

Ἡ πυρφόρος βάτος, ὢς πυράγραις αὐτοῦ, τοῦ θανάτου συνεσχέθης Θεόνυμφε, ἡ βαστάσασα θεότητος τὸ πῦρ;

*ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου,*

Ἐκοιμήθης Κόρη, οὐχὶ τέθνηκας νῦν, καὶ πρὸς κρείττονα ζωὴν καὶ ἀθάνατον, ἀφυπνώσασα εὑρέθης ἐν σαρκί.

*ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου,*

Κιβωτὸς ἡ θεία, ἐν σκηνῇ θαυμαστῇ, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ κατεσκήνωσε, διαθήκης τοῦ Θεοῦ τῆς πρὸς ἡμᾶς.

*ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, ύριε, καὶ ἐφύλαξα τὸν νόμον σου,*

Ἡ χρυσέα στάμνος, μετετέθη τῆς γῆς, ἔνθα μάννα τὸ οὐράνιον τέθειται, ἡ Θεόπαις Μαριὰμ πρὸς τὸν Θεόν.

*αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.*

Τοῦ Θεοῦ καὶ Λόγου, ἡ παστὰς ἀπὸ γῆς, εἰς οὐράνιον παστάδα εἰσέρχεται, ὑπὲρ λόγον ἡ θεόνυμφος ἁγνή.

*Μερίς μου εἶ, ύριε, εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου,*

Τοῦ Εὐαγγελίου, τεθησαύρισται νῦν, μαργαρίτης ὁ πολύτιμος σήμερον, ἀποκρύφοις θησαυροῖς τοῖς τοῦ Θεοῦ.

*ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου· ἐλέησόν με κατὰ τὸ λόγιόν σου,*

Τῆς οἰκονομίας, τῆς ἐνσάρκου Θεοῦ, τὸ κεφάλαιον αὐτὸ τὸ μυστήριον, ἡ μετάστασις ἡ Σὴ πρὸς τὸν Θεόν.

*διελογισάμην τὰς ὁδούς σου καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου,*

Βλέποντές Σε Κόρη, τὴν Μητέρα Θεοῦ, ἐδοκοῦμεν τὸν Θεὸν βλέπειν πάντοτε· πῶς δ᾽ ὑποίσομεν νυνὶ τὸν χωρισμόν;

*ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς σου,*

Ἄπνουν Σε προσβλέπειν, τὴν τὸ Πνεῦμα Θεοῦ, κεκτημένην Σε Θεόνυμφε ἔνοικον, συνεκλείπει καὶ τὸ πνεῦμα τὸ ἡμῶν.

*σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην,*

Θεοτόκε Κόρη, ἡ χαρὰ ἡ ἡμῶν, Θεοτόκε τὸ ἡμέτερον κήρυγμα, Θεοτόκε ποῦ ἀπαίρεις ἀφ' ἡμῶν;

*μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου,*

Ποῦ ἀπαίρεις Κόρη; Ποῦ μεθίστασαι νῦν; ὑπεράνων οὐρανῶν ὑπερίπτασαι, ἐκλιποῦσα ἐπὶ γῆς τοὺς νεοσσούς.

*μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου,*

Δαβὶδ θεοπάτορ, πάρεσο ἤδη νῦν, ἐν ἐξόδῳ τῆς Μητρὸς τοῦ Θεοῦ ἡμῶν, καὶ εὐσήμῳ ἐν ἡμέρᾳ ἑορτῆς.

*τοῦ ἐλέους σου, ύριε, πλήρης ἡ γῆ· τὰ δικαιώματά σου δίδαξόν με.*

Ἄρατε τὰς πύλας, τοῖς Ἀγγέλοις Θεοῦ, ἀναβόησον καὶ νῦν ὑποδέξασθαι, τὴν Μητέρα τοῦ Θεοῦ θεοπρεπῶς.

*Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, ύριε, κατὰ τὸν λόγον σου,*

Ὁ ὡραῖος κάλλει, Βασιλεὺς οὐρανῶν, νῦν τοῦ κάλλους τῆς Μητρὸς ἐπεθύμησε, καὶ ἐκάλεσιν αὐτὴν ἐν οὐρανοῖς.

*χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα,*

Εἰ καὶ Κόρη δέχῃ, τὴν ταφὴν ὡς θνητή, ἀλλ' ὡς Μήτηρ τοῦ Θεοῦ ἐξανέστης δέ, διὰ Πνεύματος Θεοῦ τοῦ παντουργοῦ.

*πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα,*

Θεοδόχον σῶμα, εἰ καὶ τάφω χωρεῖ, ἀλλ' ἐν τάφῳ διαμένειν οὐκ ἔμαθεν, ἀλλ' ἀνίσταται δυνάμει θεϊκῇ.

*χρηστὸς εἶ σύ, ύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου,*

Ἡ ταφή σου κλίμαξ, Θεοτόκε ἁγνή, Σοὶ τῇ κλίμακι οὐράνιος γέγονε, δι' ἧς ἔφθασας Θεὸν τὸν ἐπ' αὐτῆς.

*ἐπληθύνθη ἐπ᾽ ἐμὲ ἀδικία ὑπερηφάνων,*

Ὁ φωσφόρος λύχνος, τοῦ ἀδύτου φωτός, ὑπὸ γῆν μὲν πρὸς μικρὸν ὑποκρύπτεται, ἀλλὰ τέθειται λαμπρῶς ἐφ' ὑψηλοῦ.

*ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου,*

Ἡ καταραθεῖσα, ἐκ Θεοῦ ἅπαξ γῆ, ἡγιάσθη τῇ ταφῇ τοῦ Θεοῦ ἡμῶν, καὶ νῦν πάλιν τῇ ταφῇ Σοῦ τῆς Μητρός.

*ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα,*

Οὐρανόθεν πίστει, φεῦ ὁ ἄσαρκος πρίν, ὑπεράνω οὐρανῶν βαβαὶ γίνεται, νῦν ἡ ἔνσαρκος Παρθένος Μαριάμ.

*ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου,*

Τὸ ἀξίωμά Σου, καὶ ἡ δόξα ἁγνή, εἰσελήλυθε τῆς δόξης ἐνώπιον, τοῦ Κυρίου μεταστάσης ἀπὸ γῆς.

*ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.*

Πύλη διὰ πύλης, ὢ πραγμάτων καινῶν, οὐρανὸς εἰς οὐρανὸν νῦν εἰσέρχεται, καὶ ὁ θρόνος ἐν τῷ θρόνῳ τοῦ Θεοῦ.

*Δόξα. Τριαδικόν.*

Ἀνυμνοῦμεν Λόγε, Σὲ τὸν πάντων Θεόν, σὺν Πατρὶ καὶ τῷ Ἁγίῳ Σου Πνεύματι, καὶ δοξάζομεν τὴν θείαν Σου μορφήν.

*αὶ νῦν. Θεοτοκίον.*

Μακαρίζομέν Σε, πᾶσαι αἱ γενεαί, Θεοτόκε ἀειπάρθενε Δέσποινα, καὶ δοξάζομεν τὴν κοίμησιν τὴν Σήν.

*αὶ πάλιν τὸ πρῶτον:*

Ἡ Ζωὴ ἐν τάφῳ, κατετέθης Χριστέ, καὶ ἡ Μήτηρ τῆς Ζωῆς κατατίθεται· ξένον θέαμα Ἀγγέλοις καὶ βροτοῖς.

***Εἶτα, Συναπτὴ μικρά, καὶ Ἐκφώνησις:***

***Ὅτι εὐλόγηταί Σου τὸ ὄνομα, καὶ δεδόξασταί Σου ἡ Βασιλεία τοῦ Πατρός...***

**Καὶ θυμιάσαντος τοῦ ἱερέως, ἄρχεται ὁ ἀριστερὸς χορός, τῆς β' Στάσεως.**

## ΣΤΑΣΙΣ Β΄

*Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου,*
Ἄξιόν ἐστι, μεγαλύνειν Σε τὸν Ζωοδότην, τὸν τὴν ζωηφόρον μετάστασιν, μεγαλύναντα Μητρός Σου τῆς ἁγνῆς.

*οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα,*
Ἄξιόν ἐστι, μεγαλύνειν Σε τὴν Θεοτόκον, τὴν ψυχὴν τὴν θείαν καὶ ἄμωμον, ἐν χερσὶ παραθεμένην τοῦ Θεοῦ.

*ἔγνων,   ύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με,*
Ἵστατο πληθύς, καὶ ἐξίστατο πᾶσα Ἀγγέλων, βλέπουσα Θεὸν τὸν ἀπρόσιτον, προσιόντα τῇ Μητρὶ σεμνοπρεπῶς.

*γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου,*
Ἔφριξε Θεόν, κατερχόμενον πᾶλιν ὁρῶσα, καὶ ψυχὴν φρικτῶς χειριζόμενον, καὶ ἐν δόξῃ ἀνελθόντα θεϊκῇ.

*ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μού ἐστιν,*
Οἶκον ἑαυτῆς, μετοικίσασα γῆς ἡ σοφία, πρὸς τὸν ἑαυτῆς ὑπερκόσμιον, νῦν ἐπλήρωσε τῆς δόξης τοῦ Θεοῦ.

*αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ· ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου,*

Οὐκ ἐξ οὐρανοῦ, ἡ Θεόνυμφος Κόρη κατέβη, ἀλλ' εἰς οὐρανοὺς ἀναβέβηκεν, ὡς τεκοῦσα ἐπουράνιον Θεόν.

*ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου,*

Νῦν ὁ οὐρανός, βάτος γέγονε καὶ τοῖς ἀνθρώποις· δε[θτε Χριστοφόροι οὖν ἅπαντες, συνανέλθωμεν Μητρὶ τῇ τοῦ Θεοῦ.

*γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ.*

Ἔδυς ὑπὸ γῆν, ἡ ἀνήροτος γῆ τοῦ Κυρίου, στάχυν τῆς ζωῆς ἡ βλαστήσασα, καὶ ἐν χώρᾳ ὑπεξέδυς οὐρανοῦ.

*Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα,*

Ἥλιος ἰδών, πρὶν τὸν Ἥλιον δικαιοσύνης, εἶδε καὶ σελήνην νῦν δύνασαν, τὴν Παρθένον καὶ Μητέρα τοῦ φωτός.

*ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου λέγοντες· πότε παρακαλέσεις με;*

Τάφος ἀφεγγής, τὸ κατάσκιον καὶ φωτοφόρον, ὄρος τοῦ Κυρίου ἐκάλυψε, τὸ καλύψαν οὐρανοὺς τῇ ἀρετῇ.

*ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ· τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην,*

Εἰ καὶ ἀπὸ γῆς, πρὸς οὐράνια μετέστης Κόρη, ἀλλὰ πᾶσα γῆ συναγάλλεται, καὶ δοξάζει τὴν μετάστασιν τὴν Σήν.

*πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν;*
Εἰ καὶ οὐρανός, τὸ ἀκήρατον σῶμα συνέχει, ἀλλ' ἡ χάρις Κόρη ἐκκέχυται, καὶ πληροῖ ἅπαν τὸ πρόσωπον τῆς γῆς.

*διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ᾿ οὐχ ὡς ὁ νόμος σου, ύριε, πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι,*
Ὕμνοις πρὸς Θεόν, προσευχαῖς τε καὶ νηστείαις Κόρη, ταύτας τὰς ἡμέρας σχολάζουσα, ἐξεδέχου τὴν μετάστασιν τὴν Σήν.

*παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου,*
Χαίρει ἡ ψυχή, καὶ τὸ πρόσωπον φῶς ἐξαστράπτει, ἤδη ἐκδημούσης πρὸς Κύριον, Παναγία καὶ Κυρία τῶν πιστῶν.

*κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.*
Ἤδη οἱ πιστοί, ἐπιτάφιον ὕμνον τελοῦμεν, Σοὶ τῇ ἀπαρχῇ τῆς ζωῆς ἡμῶν, παριστάμενοι τῷ τάφῳ Σου σεπτῶς.

*Εἰς τὸν αἰῶνα, ύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ, εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου·*
Πόθῳ Σε πιστοί, νῦν ὀρθρίζοντες δοξολογοῦμεν, Δέσποινα Παρθένε ἀμόλυντε, καὶ δοξάζομεν τὴν κοίμησιν τὴν Σήν.

*ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει,*

Μνήσθητι ἡμῶν, τὴν μετάστασιν τὴν Σὴν Παρθένε, τῶν πιστῶς ὑμνούντων Θεόνυμφε, ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν.

*τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά,*

Νῦν ὁ δυνατός, ὡς προέφησας Σοὶ μεγαλεῖα, ἄχραντε Παρθένε ἐποίησεν, οὐρανοῦ τε καὶ τῆς γῆς ὁ Ποιητής.

*εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μού ἐστι, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου,*

Ἵστασαι νυνί, πρὸς Θεότητος τῆς τριπροσώπου, πρόσωπον πρὸς πρόσωπον βλέπουσα, ὅπου πρόσωπα καλύπτει Σεραφίμ.

*εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με,*

Νῦν ὁ οὐρανός, συναγάλλεται τῇ γῇ καὶ χαίρει, ἄνθρωποι Ἀγγέλοις συνήνωνται, μεταστάσης τῆς ἁγνῆς ἐν οὐρανῷ.

*σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα,*

Νῦν Ἰωακείμ, συνευφραίνεται ἐπὶ τῇ δόξῃ, τῆς παιδὸς αὐτοῦ καὶ θεόπαιδος, τῇ ἀῤῥήτῳ καὶ ἐνθέῳ ἀληθῶς.

*ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με· τὰ μαρτύριά σου συνῆκα,*

Ἡ Γεσθημανή, τὸν μακάριον τάφον λαχοῦσα, καὶ παρθενικὸν μακαρίζεται, τιμωμένη ὡς παστὰς βασιλική.

*πάσης συντελείας εἶδον πέρας· πλατεῖα ἡ ἐντολή σου σφόδρα.*

Δεῦτε οἱ πιστοί, εἰς τὸν Ἅγιον Τάφον Κυρίου, καὶ τῆς παναγίας Αὐτοῦ Μητρός, προσκυνήσωμεν ἐν φόβῳ καὶ χαρᾷ

*῾ ς ἠγάπησα τὸν νόμον σου, ύριε· ὅλην τὴν ἡμέραν μελέτη μού ἐστιν,*

Ἱερουσαλήμ, καταλάβωμεν πάντες προθύμως, καὶ τὰ τελεσθέντα μυστήρια, ἐποψόμεθα Θεοῦ τὰ πρὸς ἡμᾶς.

*ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν,*

Ἄγγελοι σεπτῶς, περιέπουσιν ἁγνὴ τὸν τάφον, τὸν σεπτόν Σου φῶς ἐξαστράπτοντα, φωτιζόμενον φωτὶ τῷ τοῦ Θεοῦ.

*ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μού ἐστιν,*

Ἔφριξαν ὁμοῦ, ἐναέρια πνεύματα πάντα, τὴν εἰς οὐρανούς Σου ἀνάβασιν, καὶ κατέπτηξας τὸ κράτος Σου ἁγνή.

*ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα,*

Ἔπτηξε σατᾶν, ἰδὼν αὖθις τὸ φῶς ἐν τῷ ᾄδη, καὶ θρηνῶν καὶ στένων ἐκραύγαζε· Τί ἐμοὶ καὶ Σοὶ ὦ Μῆτερ τοῦ Θεοῦ;

*ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου,*

Ὢ πλοῦτος Θεοῦ, ὢ ἀμέτρητον βάθος ἀγάπης, καὶ τὰ καταχθόνια ἔπλησε, τῆς ἐνδόξου παρουσίας τῆς Μητρός.

*ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με,*

Πρὶν ὑπὲρ ἡμῶν, ἐν τῷ ᾅδῃ ὁ Χριστὸς κατῆλθε, νῦν δὲ δι' ἡμᾶς ἀνελήλυθεν, ἡ Παρθένος Μαριὰμ ἐν οὐρανῷ.

*ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου,*

Κάθοδον Θεοῦ, καὶ τὴν ἄνοδον τὴν Σὴν Παρθένε, προσκυνῶ δοξάζω καὶ σέβομαι, ὡς αἰτίας τῆς εἰσόδου μοι ζωῆς.

*ἀπὸ τῶν ἐντολῶν σου συνῆκα· διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.*

Ζώνην τὴν σεπτήν, εἰς μαρτύριον τῆς Σῆς ἐνσάρκου, γῆθεν πρὸς Θεὸν μεταστάσεως, ἐγχειρίζεις Θεοτόκε τῷ Θωμᾷ.

*Λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου,*

Εἰ καὶ ὁ Θωμᾶς, νῦν ὁ Δίδυμος πάλιν ἐκλείπειν, ἀλλὰ μυστηρίων ἠξίωται, τῇ ἐνδόξῳ Ἀναστάσει τοῦ Χριστοῦ.

*ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου,*

Ἀραβιανόν, σκολιώτατον γένος Ἑβραίων, τὸν Υἱὸν Σταυρῷ παραδέδωκας, καὶ τὰς χεῖρας νῦν κινεῖς κατὰ Μητρός.

*ἐταπεινώθην ἕως σφόδρα·   ύριε, ζῆσόν με κατὰ τὸν λόγον σου,*

Πῶς τῆς Κιβωτοῦ, τὸ κιβώτιον Θεοῦ τοῦ ζῶντος, κατασπᾷν ἀλάστορ τετόλμηκας; ἀλλ’ ὑπέφθασεν ἡ δίκη τὴν τομήν.

*τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δή,   ύριε, καὶ τὰ κρίματά σου δίδαξόν με,*

Κάτω Σε ἁγνή, οἱ Ἀπόστολοι περιεκύκλουν, ἄνω αἱ Δυνάμεις ὑπήντων Σοι, ὡς Ἀγγέλων τε Κυρία καὶ βροτῶν.

*ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην,*

Θρῆνον ἱερόν, συντελοῦντές Σοι Κόρη ἐβόων· πῶς Σε τοῦ Θεοῦ τὸ παλάτιον, συγκαλύψωμεν τῇ γῇ νεκροπρεπῶς;

*ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην,*

Πῶς τὸν λογικόν, ὑπὲρ ἔννοιαν πᾶσαν καὶ λόγον, τοῦ Υἱοῦ καὶ Λόγου Παράδεισον, παραδώσομεν τῷ τάφῳ Σε ἁγνή;

*ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μού εἰσιν,*

Λόγοις θεϊκοῖς, θεοκήρυκας παραμυθοῦσα, τὸ πολὺ τῆς λύπης διέλυες, προσλαλοῦσα Θεομῆτορ μητρικῶς.

*ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι᾽ ἀντάμειψιν.*

Πένθος τὴν χαράν, τοῦ Κυρίου καὶ Υἱοῦ μου τέκνα, τῆς πρὸς τὸν Θεὸν ἐνδημίας μου, μὴ ἐργάσησθε τοῖς δάκρυσιν ὑμῶν.

*Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα,*

Πρέσβις πρὸς Θεόν, ἤδη ἄπειμι ὑπὲρ τοῦ κόσμου· μεθ' ὑμῶν εἰμὶ ἐν τῷ κόσμῳ δέ, σὺν Κυρίῳ ὡς ὑπέσχετο ἀεί.

*βοηθός μου, καὶ ἀντιλήπτωρ μου εἶ σύ· εἰς τοὺς λόγους σου ἐπήλπισα,*

Φρίττομεν ἁγνή, τὸ πανάγιον καὶ θεοδόχον, σῶμά Σου προσψαῦσαι οἱ δοῦλοι Σου, καaὶ κηδεῦσαι τὴν Μητέρα τῆς ζωῆς.

*ἐκκλίνατε ἀπ᾽ ἐμοῦ, πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου,*

Τίνας στολισμούς; Τίνα σπάργανα Κόρη καὶ μύρα; Τίνα δὲ ἐντάφια ᾄσματα, τῇ κηδεύσει Σου προσφέρομεν ἁγνή;

*ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου, καὶ ζῆσόν με, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου,*

Βασιλεῖς τῆς γῆς, καὶ οἱ πλούσιοι λαοῦ Παρθένε, πρόσωπον τὸ Σὸν λιτανεύουσι, Βασιλέως οὐρανοῦ ὡς θυγατρός.

*βοήθησόν μοι, καὶ σωθήσομαι καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός,*

Θεὸς ἐν Μητρί, ἀνεπαύσατο ἐν γῇ ὡς βρέφος, νῦν δ' ἐν οὐρανῷ ἀναπαύεται, καὶ εὐφραίνεται ἡ Μήτηρ ἐν Θεῷ.

*ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν,*

Νῦν ἡ Μαριάμ, τὸ πανάχραντον σῶμα Κυρίου, τὸ τεθεωμένον ἀγάλλεται, θεωμένη ἐν τῷ θρόνῳ τοῦ Θεοῦ.

*παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου,*

Ἤκουσας ἐκεῖ, νῦν τὰ ἄῤῥητα ῥήματα Κόρη, καὶ τὰ τῆς σοφίας Σοι ἄδηλα, καὶ τὰ κρύφια ἐδήλωσε Θεός.

*καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.*

Ἤρθη ἀπὸ γῆς, ἡ περίδοξος πόλις Κυρίου, περὶ ἧς ἐνδόξως λελάληνται, καὶ εἰσήχθη εἰς τὸν οἶκον τοῦ Θεοῦ.

*Ἐποίησα κρῖμα καὶ δικαιοσύνην· μὴ παραδῷς με τοῖς ἀδικοῦσί με,*

Ἤρθη ἀπὸ γῆς, ἡ ἀμίαντος γῆ καὶ παρθένος, ἐξ Ἧς ὁ Ἀδὰμ πεπλαστούργηται, τοῦ προπάτορος Ἀδὰμ ὁ πλαστουργός.

*ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν· μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι,*

Νῦν ὁ οὐρανός, ὑποδέχεται Θεοῦ τὸ ἅρμα, μυριοπλασίως τὸ ἅγιον, σὺν Ἁγίων μυριάσιν εὐκλεῶς.

*οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου,*

Σήμερον ἐκ γῆς, ἡ ἀμόλυντος παναγεστάτη, ἔνθα τὸ ἀρχέτυπον ἵδρυται, ἀναφέρεται εἰκὼν καινοπρεπῶς.

*ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου καὶ τὰ δικαιώματά σου δίδαξόν με,*

Ἐνθεαστικῶς, τὸν θεόγλυπτον νῦν ἀνδριάντα, κάλλος τὸ τῆς γῆς περιούσιον, μετατίθησι Θεὸς ἐν οὐρανῷ.

*δοῦλός σού εἰμι ἐγώ· συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου,*

Βίβλος μυστική, ἐν ᾗ γέγραπται Θεοῦ ὁ Λόγος, ἐν χερσὶ Θεοῦ κατατίθεται, οὐρανίων Μυστηρίων εἰς γραφήν.

*καιρὸς τοῦ ποιῆσαι τῷ   υρίῳ· διεσκέδασαν τὸν νόμον σου,*

Ὡς περιστερά, τετρωμένη τῆς ἀγάπης Κόρη, θρόνον τοῦ Θεοῦ περιΐπτασαι, παριπτᾶσα νοσσιὰν τὴν ἐπὶ γῆς.

*διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον,*

Γῆς καὶ οὐρανοῦ, παμβασίλεια οἷα Μαρία, εἰς τὴν Βασιλείαν εἰσάγαγε, τοὺς δοξάζοντας τὴν Κοίμησιν τὴν Σήν.

*διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.*

Κοίμησον ἁγνή, τῇ κοιμήσει Σου τῇ ζωηφόρῳ, παῦσον Ἐκκλησίας τὰ σκάνδαλα, καὶ στερέωσον αὐτὴν ὡς ἀγαθή.

*Θαυμαστὰ τὰ μαρτύριά σου· διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου,*

Ὑμνοῦμεν ἁγνή, νῦν τὴν κοίμησιν καὶ τὴν ταφήν Σου, καὶ πάντες πιστῶς ἐκθειάζομεν, λυτρωθέντες τοῦ θανάτου διὰ Σοῦ.

*ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους,*

Κλίνην τὴν σεπτήν, τὴν ἁγίαν Σε καὶ θεοδόχον, σεπτῶς ἐπὶ κλίνης θεώμενοι, οἱ Ἀπόστολοι ἐβόων ἐν κλαυθμῷ.

*τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν,*

Ἔντεινε σεμνή, ἀειπάρθενε Κόρη Μαρία, καὶ κατευοδοῦ καὶ βασίλευε, εἰς αἰῶνας τῶν αἰώνων σὺν Θεῷ.

*Δόξα. Τριαδικόν.*

Ἄναρχε Θεέ, συναΐδιε Λόγε καὶ Πνεῦμα, ὕψωσον τὸ κέρας Χριστιανῶν, ὡς παντελεήμων καὶ ἀγαθός.

*αὶ νῦν. Θεοτοκίον.*

Τέξασα ζωήν, παναμώμητε ἁγνὴ Παρθένε, καὶ πρὸς τὴν ζωὴν μεταστᾶσα νῦν, καταξίωσον καὶ πάντας τοὺς πιστούς.

*αὶ πάλιν τὸ πρῶτον:*

Ἄξιόν ἐστι, μεγαλύνειν Σε τὸν Ζωοδότην, τὸν τὴν ζωηφόρον μετάστασιν, μεγαλύναντα Μητρός Σου τῆς ἁγνῆς.

***Εἶτα, Συναπτὴ μικρά, καὶ Ἐκφώνησις:***

***Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά Σου...***

**Καὶ θυμιάσαντος τοῦ ἱερέως, ἄρχεται ὁ δεξιὸς χορός, τῆς Γ' Στάσεως.**

## ΣΤΑΣΙΣ Γ'.

*Ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου,*

Αἱ γενεαὶ πᾶσαι, ὕμνον τῇ ταφῇ Σου, προσφέρουσι Παρθένε.

*τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία,*

Δεῦρο πᾶσα κτίσις, ὕμνους ἐξοδίους, προσοίσωμεν τῇ Κόρῃ.

*λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου,*

Οἱ Μαθηταὶ Χριστοῦ μου, κηδεύουσι τὸ σῶμα, Μητρὸς τῆς τοῦ Θεοῦ μου.

*τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου καὶ δίδαξόν με τὰ δικαιώματά σου,*

Ἀγγέλων Ἀρχαγγέλων, αἱ Τάξεις παρεστῶσαι, συνύμνουν ἀοράτως.

*διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου.*

Αἱ τίμιαι γυναῖκες, μετὰ τῶν Ἀποστόλων, ἐβόων θρηνῳδοῦσαι.

*Δίκαιος εἶ, ύριε, καὶ εὐθεῖαι αἱ κρίσεις σου,*

Ἀπείρανδρε Παρθένε, Θεοῦ Μῆτερ Ὑψίστου, πῶς φέρωμεν τὸ πάθος;

*ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου καὶ ἀλήθειαν σφόδρα,*

Ἡ Σὴ νῦν ἐκδημία, χαρὰ παντὶ τῷ κόσμῳ, ἡμῖν δὲ πένθος λύπης.

*ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου,*

Τῆς Σῆς φιλοστοργίας, καὶ τῆς κηδεμονίας, μὴ ἀπορφανισθῶμεν.

*πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό,*

Πῶς τὸ γλυκὺ τὸ ὄμμα, τὸ φῶς ἡμῶν Παρθένε, ὑποίσωμεν μὴ βλέπειν;

*νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος· τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην,*

Πῶς τὸ φιλόθεόν Σου, καὶ θεολόγον στόμα, σιγῇ φεῦ συνεδέθη;

*ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια,*

Μητρὸς τοῦ Διδασκάλου, ἡμῶν οὐκ ἀποστῶμεν, Ἀπόστολοι ἐβόων.

*θλίψεις καὶ ἀνάγκαι εὕροσάν με· αἱ ἐντολαί σου μελέτη μου,*

Ἐν νεφέλαις πάλιν, προπέμψομέν Σε Κόρη, ἕως τῶν οὐρανίων.

*δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· συνέτισόν με, καὶ ζήσομαι.*

Ἡ ῥάβδος ἡ ἁγία, τάφῳ κατατεθεῖσα, ζωὴν ἀναβλαστάνει.

*Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου· ἐπάκουσόν μου, ύριε, τὰ δικαιώματά σου ἐκζητήσω,*

Τῷ τάφῳ κατετέθη, ἡ τοὺς νεκροὺς ἐκ τάφων, ἐγείρασα τῷ τόκῳ.

*ἐκέκραξά σοι· σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου,*

Ποῦ ἀπαίρεις Μῆτερ; ὁ φίλος καὶ παρθένος, υἱοπρεπῶς ἐβόα.

*προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα,*

Εἰς τὴν χαρὰν Υἱοῦ Σου, ἀπαίρεις Θεομήτορ, καὶ γέγηθας καὶ χαίρεις.

*προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾶν τὰ λόγιά σου,*

Ἡ ἐν Κανᾷ τῷ γάμῳ, νῦν πάλιν προσεκλήθης, μετὰ τῶν Ἀποστόλων;

*τῆς φωνῆς μου ἄκουσον, ύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με,*

Παράλαβε Παρθένε, πρὸς τὸ θεῖόν Σου τέκνον, κἀμὲ νῦν τὸν Υἱόν Σου.

*προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν,*

Μετάστησόν με Μῆτερ, τῇ Σῇ νῦν μεταστάσει, πρὸς τὸν ἐκ Σοῦ τεχθέντα.

*ἐγγὺς εἶ, ύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια,*

Ἵνα συμπαραστῶμεν, ἐν οὐρανῷ τῇ δόξῃ, ὡς ἐν Σταυρῷ τῷ πάθει.

*κατ᾽ ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.*

Σὺν Νόων μυριάσι, κατῆλθεν ὁ Δεσπότης, Γεθσημανὴ ἀγάλλου.

*Ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην,*

Τῶν Μαθητῶν χορεία, εὐφράνθητε ἰδόντες, τὸν Κύριον ἐν δόξῃ.

*κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με· διὰ τὸν λόγον σου ζῆσόν με,*

Πᾶσα ἡ γῆ σκιρτάτω, Θεὸν αὖ κατιόντα, σήμερον κατιδοῦσα.

*μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν,*

Ἐξέλθωμεν ταχέως, εἰς ὑπαντὴν Κυρίου, αὖθις συγκαταβάντος.

*οἱ οἰκτιρμοί σου πολλοί, ύριε· κατὰ τὸ κρῖμά σου ζῆσόν με,*

Ἀκουτισθῶμεν πάντες, Θεοῦ νῦν συλλαλοῦντος, Μητρὶ τῇ παναχράντῳ.

*πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με· ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα,*

Ὦ γλυκυτάτη Μῆτερ, πρὸς τὸ γλυκύτατόν Σου, ἐλθὲ χαίρουσα τέκνον.

*εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο,*

Ἴδε νῦν ὁ Υἱός Σου, ἰδοὺ παραλαβεῖν Σε, εἰς τὰ ἴδια ἦλθε.

*ἴδε, ὅτι τὰς ἐντολάς σου ἠγάπησα· ύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με,*

Ἐνώπιον τῆς δόξης, Πατρὸς ἐμφανισθῆναι, τὴν δόξαν τῆς Μητρός μου.

*ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.*

Δοξάζω Σου Θεέ μου, πρὸς τὸν Υἱὸν ἡ Μήτηρ, τὴν ἄκραν εὐσπλαγχνίαν.

*Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου,*

Δοξάζω Σε Υἱέ μου, καὶ προσκυνῶ τὴν δόξαν, τῆς Σῆς μεγαλωσύνης.

*ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου ὡς ὁ εὑρίσκων σκῦλα πολλά,*

Πλησίον τοῦ Πατρός μου, ἐλθέ μου ἡ πλησίον, τῆς γῆς ἐξαναστᾶσα.

*ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα,*

Κῆπος ὁ κεκλεισμένος, ἔνθα ζωῆς τὸ ξύλον, καὶ τῆς ἀθανασίας.

*ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου,*

Πηγὴ ἐσφραγισμένη, ὅπου τρυφῆς χειμάῤῥους, τῆς πανυπεραῤῥήτου.

*εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον,*

Ὑμολογῶ Υἱέ μου, τὸ τῆς Θεότητός Σου, τῆς ὑπερθέου κράτος.

*προσεδόκων τὸ σωτήριόν σου, ύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα,*

Ὑμνολογῶ Θεέ μου, τὴν συγκατάβασίν Σου, καὶ τὴν φιλανθρωπίαν.

*ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου καὶ ἠγάπησεν αὐτὰ σφόδρα,*

Δεῦρο ἡ καλή μου, ἀπόλαυε τοῦ κάλλους, τοῦ Σοῦ Υἱοῦ καὶ Πλάστου.

*ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου, ύριε.*

Δεῦρο δή μου Μῆτερ, εἰς τὴν χαρὰν τὴν θείαν, καὶ εἰς τὴν Βασιλείαν.

*Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, ύριε· κατὰ τὸ λόγιόν σου συνέτισόν με,*

Δεῦρο δὴ Μαρία, ἔνθα συμπροσκυνεῖσαι, Πατὴρ Υἱὸς καὶ Πνεῦμα.

*εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, ύριε· κατὰ τὸ λόγιόν σου ῥῦσαί με,*

Τί Σοι ἀνταποδώσω, Θεάνθρωπε Υἱέ μου, ἡ δούλη τῷ Δεσπότῃ;

*ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου,*

Τί νῦν Σοι προσενέγκω, ἐν οὐρανῷ Θεέ μου, εἰ μὴ ψυχὴν καὶ σῶμα;

*φθέγξαιτο ἡ γλῶσσά μου τὰ λόγιά σου,*

Δοξάζω τὸν Πατέρα, ὑμνῶ Σε τὸν Υἱόν μου, καὶ προσκυνῶ τὸ Πνεῦμα.

*ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη,*

Δόξα Σοι Θεοτόκε, δόξα τῇ Σῇ Γεννήσει, δόξα καὶ τῇ Κοιμήσει.

*γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾐρετισάμην,*

Ἀδάμ τε καὶ ἡ Εὔα, ἐξέστησαν ἰδόντες, τὴν δόξαν τῆς Παρθένου.

*ἐπεπόθησα τὸ σωτήριόν σου,   ύριε, καὶ ὁ νόμος σου μελέτη μού ἐστι,*

Ἰωακεὶμ καὶ Ἄννα, μακάριοι τεκόντες, τῷ κόσμῳ θυγατέρα.

*ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι,*

Ὑπερδεδοξασμένην, ὑπερανῳκισμένην, οἷα Θεοῦ Μητέρα.

*ἐπλανήθην ὡς πρόβατον ἀπολωλός· ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.*

Εἰρήνην Ἐκκλησίᾳ, λαῷ Σου σωτηρίαν, δώρησαι Σῇ κοιμήσει.

*Δόξα. Τριαδικόν.*

Ὦ Τριὰς Θεέ μου, Πατὴρ Υἱὸς καὶ Πνεῦμα, ἐλέησον τὸν κόσμον.

*αὶ νῦν. Θεοτοκίον.*

Ἰδεῖν τὴν τοῦ Υἱοῦ Σου, Παρθένε Βασιλείαν, ἀξίωσον Σοὺς δούλους.

*αὶ πάλιν τὸ πρῶτον:*

Αἱ γενεαὶ πᾶσαι, ὕμνον τῇ ταφῇ Σου, προσφέρουσι Παρθένε.

*Εὐλογητάρια. Ἦχος πλ. α΄.*

*Εὐλογημένη Δέσποινα, φώτισόν με, φωτὶ τῷ τοῦ Υἱοῦ Σου.*

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν Σε, ἐν νεκροῖς λογισθεῖσαν, τὴν ψυχὴν δὲ εἰς χεῖρας, τοῦ Θεοῦ παραθεῖσαν, καὶ σὺν τῷ Θεῷ ἀνελθοῦσαν ἄχραντε, μετὰ δόξης θείας εἰς τὰ οὐράνια.

*Εὐλογημένη Δέσποινα, φώτισόν με, φωτὶ τῷ τοῦ Υἱοῦ Σου.*

Τίνος χάριν, τὴν χαρὰν τοῖς δάκρυσι, Θεοκήρυκες κιρνᾶτε; ὁ ἐξ ὕψους προσφοιτήσας Δίδυμος, προσεφθέγγετο τοῖς Ἀποστόλοις· ἴδετε ὑμεῖς τὴν Ζώνην καὶ ἥσθητε, ἡ Παρθένος, ἐξανέστη τοῦ μνήματος.

*Εὐλογημένη Δέσποινα, φώτισόν με, φωτὶ τῷ τοῦ Υἱοῦ Σου.*

Ὁ Μαθητής, ἀπιστήσας Δέσποινα, τὴν Ἀνάστασιν τὴν τοῦ Υἱοῦ Σου, νῦν πιστοῦται τοὺς λοιποὺς τὴν ἔγερσίν Σου, λέγων· θρήνου ὁ καιρὸς πέπαυται, μὴ κλαίετε, τὴν ἀνάστασιν δέ, τῆς Παρθένου εἴπατε.

*Εὐλογημένη Δέσποινα, φώτισόν με, φωτὶ τῷ τοῦ Υἱοῦ Σου.*

Θεοφόροις Παρθένε, Μαθηταῖς ἠθροισμένοις, πρὸς τὸ μνῆμά Σου καὶ θρηνολογοῦσιν, ἐπιφανεὶς ὁ Θωμᾶς

ἔφη λέγων· Τί μετὰ νεκρῶν τὴν ζωὴν λογίζεσθε; ὡς Θεοῦ γὰρ ἐξανέστη γεννήτρια.

*Δόξα. Τριαδικόν.*

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφὶμ κράζοντες τό· Ἅγιος, Ἅγιος Ἅγιος εἶ Κύριε.

*αὶ νῦν. Θεοτοκίον.*

Ζωοδότην τεκοῦσα, πρὸς ζωὴν τὴν ἀγήρω, μεταβέβηκας ἤδη· χαρμονὴν δὲ Παρθένε, ἀντὶ λύπης παρέσχες, πρὸς τοὺς Μαθητὰς ἐκ τάφου τριήμερος, ἀναστᾶσα Κόρη, καθὼς ὁ Κύριος.

*Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, δόξα Σοι ὁ Θεός (γ΄)*

***Εἶτα, Συναπτὴ καὶ Ἐκφώνησις:***
***Ὅτι Σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν...***